## XXVI

τὸν μικρὸν Κλεόδημον ἔτι ζώοντα γάλακτι
ἴχνος ὑπὲρ τοίχων νηὸς ἐρεισάμενον
ὁ Θρῆιξ ἐτύμως Βορέης βάλεν εἰς ἁλὸς οἶδμα,
κῦμα δ' ἀπὸ ψυχὴν ἔσβεσε νηπιάχου.
Ἰνοῖ, ἀνοικτίρμων τις ἔφυς θεός, ἣ Μελικέρτεω
ἥλικος οὐκ Ἀίδην πικρὸν ἀπηλάσαο.

## XXVII

τῆς πολιῆς τόδε σῆμα Μαρωνίδος, ἧς ἐπὶ τύμβῳ
γλυπτὴν ἐκ πέτρης αὐτὸς ὁρῇς κύλικα.
ἡ δὲ φιλάκρητος καὶ ἀείλαλος οὐκ ἐπὶ τέκνοις
μύρεται, οὐ τεκέων ἀκτεάνῳ πατέρι,
ἓν δὲ τόδ' αἰάζει καὶ ὑπ' ἠρίον, ὅττι τὸ Βάκχου
ἅρμενον οὐ Βάκχου πλῆρες ἔπεστι τάφῳ.

## XXVIII

τὰν μὲν ἀεὶ πολύμυθον, ἀεὶ λάλον, ὦ ξένε, κίσσα
φάσει, τὰν δὲ μέθας σύντροφον ἅδε κύλιξ,
τὰν Κρῆσσαν δὲ τὰ τόξα, τὰ δ' εἴρια τὰν φιλοεργόν,
ἄνδεμα δ' αὖ μίτρας τὰν πολιοκρόταφον.
τοιάνδε σταλοῦχος ὅδ' ἔκρυφε Βιττίδα τύμβος
†τι μελάχραντον† νυμφιδίαν ἄλοχον·
ἀλλ', ὦνερ, καὶ χαῖρε καὶ οἰχομένοισιν ἐς Ἅιδαν
τὰν αὐτὰν μύθων αὖθις ὅπαζε χάριν.